# 09 MAI
# IOSIF VATOPEDINUL

# SLUJBA SF.IERARH NICOLAE, ARHIEPISCOPUL MIRELOR LICHIEI ADUCEREA MOAŞTELOR DE LA MIRA LICHIEI LA BARI



## NEA SKITI-ATHOS,1970


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# Ακολουθία της Ανακομιδής των Λειψάνων του εν Αγίοις Πατρός ημών Νικολάου Επισκόπου Μύρων της Λυκίας του Θαυματουργού

## Ποίημα Ιωσήφ Μοναχού Βατοπαιδινού

## Εν τω Μεγάλω Εσπερινώ

Μετά τον Προοιμιακόν, το Μακάριος ανήρ.
Εις δε το Κύριε εκέκραξα ιστώμεν στίχους ς΄ και ψάλλομεν Προσόμοια δ΄ δευτερούντες τα δύο πρώτα.
Ήχος δ΄. Ως γενναίον εν μάρτυσιν.

Η εκ γης ανατείλασα, των Λειψάνων σου εύρεσις, κόσμον πάντα ηύφρανε και επλούτισε, ταις των θαυμάτων λαμπρότησι, πιστών τα πληρώματα, των Πατέρων καλλονή, Θεοφόρε Νικόλαε, στήλη έμψυχε, συμπαθείας και σκέπη πενομένων, ασθενούντων αντιλήπτωρ, και θλιβομένων παράκλησις.

Των τιμίων Λειψάνων σου, εορτάζομεν εύρεσιν, και πιστώς υμνούμέν σου τα θαυμάσια, δι’ ων πλουσίως μετέδωκας, την χάριν την ένθεον, την οικούσαν εν αυτοίς, Θεοφόρε Νικόλαε, Μύρων πρόεδρε, συμπαθείας η στήλη και προστάτα, των τιμώντων σε εκ πόθου, θαυματοφόρε αοίδιμε.

Εκκλησίας εδραίωμα, οικουμένης αγλάϊσμα, ευσεβείας στήριγμα αδιάσειστον, ιερομύστα Νικόλαε, προφθάνεις τους πίστει σε, εκζητούντας βοηθόν, και λυτρούσαι εκάστοτε, των δεινών ημών, συμφορών και κινδύνων

πολυτρόπων, εν θαλάσση τέ και χέρσω, θαυματοφόρε αοίδιμε.

Τους πιστώς συνελθόντας σοι, εν ναώ σου μακάριε, εορτήν τιμήσαί σου την πανίερον, των μυριπνόων Λειψάνων σου, περίσωζε πάντοθεν πολυτρόπων πειρασμών, Εκκλησίας τε σκάνδαλα, νυν πληθύναντα, ταις ευχαίς σου διάλυσον ως έχων, παρρησίαν Ιεράρχα, θαυματοφόρε Νικόλαε.

*Δόξα. Ήχος πλ.δ΄.*

Μετ’ ευφροσύνης πιστοί, συνελθόντες ευφημήσωμεν, του σεπτού διδασκάλου και κοινού ημών προστάτου, των λειψάνων την ανεύρεσιν. Ως άλλος γαρ ήλιος εκ γης ανατείλας, την οικουμένην κατηγλάϊσε, ταις των θαυμάτων φρυκτωρίαις. Πάντας πανταχού προφθάνει, τους εκζητούντας αυτού την αντίληψιν· χειμαζομένους λυτρούται· τοις πλέουσι συμπλέει, και τοις απορουμένοις την προμήθειαν παρέχει· υπέρ δε των τιμώντων την μνήμην αυτού, λύσιν οφλημάτων αιτείται, και το μέγα έλεος.

Και νυν. Ο αυτός. Θεοτοκίον.

Ο Βασιλεύς των ουρανών, διά φιλανθρωπίαν, επί της γης ώφθη, και τοις ανθρώποις συνάστράφη· εκ Παρθένου γαρ αγνής, σάρκα προσλαβόμενος, και εκ ταύτης προελθών, μετά της προσλήψεως, εις εστίν Υιός, διπλούς την φύσιν, αλλ’ ου την υπόστασιν· διό τέλειον αυτόν Θεόν, και τέλειον άνθρωπον, αληθώς κηρύττοντες, ομολογούμεν Χριστόν τον Θεόν ημών· όν ικέτευε Μήτηρ ανύμφευτε, ελεηθήναι τας ψυχάς ημών.

## Είσοδος, Φως ιλαρόν, το Προκείμενον της ημέρας,

## και τα Αναγνώσματα.

## Παροιμιών το Ανάγνωσμα ( *Κεφ. ι΄ 7, γ΄ 13)*

Μνήμη δικαίου μετ’ εγκωμίων, και ευλογία Κυρίου επί κεφαλήν αυτού. Μακάριος άνθρωπος, ος εύρε σοφίαν, και θνητός, ος είδε φρόνησιν. Κρείσσον γαρ αυτήν εμπορεύεσθαι, ή χρυσίου και αργυρίου θησαυρούς. Τιμιωτέρα δε εστι λίθων πολυτελών· ουκ αντιτάσσεται αυτή ουδέν πονηρόν· εύγνωστος εστι πάσι τοις εγγίζουσιν αυτή· πάν δε τίμιον, ουκ άξιον αυτής εστιν. Εκ γαρ του στόματος αυτής εκπορεύεται δικαιοσύνη, νόμον δε και έλεον επί γλώσσης φορεί. Τοιγαρούν ακούσατέ μου, ω τέκνα, σεμνά γαρ ερώ· και μακάριος άνθρωπος, ος τας εμάς οδούς φυλάξει. Αι γαρ έξοδοί μου, έξοδοι ζωής, και ετοιμάζεται θέλησις παρά Κυρίου. Διά τούτο παρακαλώ υμάς, και προΐεμαι εμήν φωνήν υιοίς ανθρώπων. Ότι εγώ η Σοφία κατεσκεύασα βουλήν και γνώσιν και έννοιαν εγώ επεκαλεσάμην. Εμή βουλή και ασφάλεια, εμή φρόνησις, εμή δε ισχύς. Εγώ τους εμέ φιλούντας αγαπώ, οι δε εμέ ζητούντες, ευρήσουσι χάριν. Νοήσατε τοίνυν άκακοι πανουργίαν, οι δε απαίδευτοι ένθεσθε καρδίαν. Εισακούσατέ μου και πάλιν, σεμνά γαρ ερώ, και ανοίγω από χειλέων ορθά. Ότι αλήθειαν μελετήσει ο λάρυγξ μου, εβδελυγμένα δε εναντίον εμού χείλη ψευδή. Μετά δικαιοσύνης πάντα τα ρήματα του στόματός μου· ουδέν εν αυτοίς σκολιόν, ουδέ στραγγαλιώδες. Πάντα ευθέα εστί τοις νοούσι, και ορθά τοις ευρίσκουσι γνώσιν. Διδάσκω γαρ υμίν αληθή, ίνα γένηται εν Κυρίω η ελπίς υμών, και πλησθήσεσθε Πνεύματος.

## Παροιμιών το Ανάγνωσμα ( Κεφ. ι΄ 31)

Στόμα δικαίου αποστάζει σοφίαν, γλώσσα δε αδίκου εξολείται. Χείλη ανδρών δικαίων επίστανται χάριτας, στόμα δε ασεβών καταστρέφεται. Ζυγοί δόλιοι, βδέλυγμα ενώπιον Κυρίου· στάθμιον δε δίκαιον, δεκτόν αυτώ. Ού εάν εισέλθη ύβρις, εκεί και ατιμία· στόμα δε ταπεινών μελετά σοφίαν. Τελειότης ευθέων οδηγήσει αυτούς, και υποσκελισμός αθετούντων προνομεύσει αυτούς. Ουκ ωφελήσει υπάρχοντα εν ημέρα θυμού, δικαιοσύνη δε ρύσεται από θανάτου. Αποθανών δίκαιος έλιπε μετάμελον· πρόχειρος δε γίνεται και επίχαρτος ασεβών απώλεια. Δικαιοσύνη αμώμου ορθοτομεί οδούς, ασέβεια δε περιπίπτει αδικία. Διακαιοσύνη ανδρών ορθών ρύσεται αυτούς, τη δε αβουλία αλίσκονται παράνομοι. Τελευτήσαντος ανδρός δικαίου ουκ όλλυται ελπίς· το δε καύχημα των ασεβών όλλυται. Δίκαιος εκ θήρας εκδύνει, αντ' αυτού δε παραδίδοται ο ασεβής. Εν στόματι ασεβών, παγίς πολίταις, αίσθησις δε δικαίων, εύοδος. Εν αγαθοίς δικαίων κατώρθωται πόλις, και εν απωλεία ασεβών αγαλλίαμα. Εν ευλογία ευθέων υψωθήσεται πόλις· στόματι δε ασεβών κατασκαφήσεται. Μυκτηρίζει πολίτας ενδεής φρενών, ανήρ δε φρόνιμος ησυχίαν άγει.

## Σοφίας Σολομώντος το Ανάγνωσμα ( Κεφ. δ΄ 7).

Δίκαιος, εάν φθάση τελευτήσαι, εν αναπαύσει έσται. Γήρας γαρ τίμιον, ου το πολυχρόνιον, ουδέ αριθμώ ετών μεμέτρηται. Πολιά δε εστι φρόνησις ανθρώποις· και ηλικία γήρως, βίος ακηλίδωτος. Ευάρεστος Θεώ γενόμενος, ηγαπήθη, και ζών μεταξύ αμαρτωλών, μετετέθη. Ηρπάγη, μή κακία αλλάξη σύνεσιν αυτού, ή δόλος απατήση ψυχήν

αυτού. Βασκανία γαρ φαυλότητος αμαυροί τα καλά, και ρεμβασμός επιθυμίας μεταλλεύει νούν άκακον. Τελειωθείς εν ολίγω, επλήρωσε χρόνους μακρούς· αρεστή γαρ ην Κυρίω η ψυχή αυτού· διά τούτο έσπευσεν εκ μέσου πονηρίας. Οι δε λαοί ιδόντες, και μή νοήσαντες, μηδέ θέντες επί διανοία το τοιούτον, ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

## Εις την Λιτήν. Ιδιόμελα.
## Ήχος α΄.

Όσιος και πράος, εγκρατής ελεήμων, ταπεινός τε και μέτριος γέγονας, Ιεράρχα Νικόλαε· του γαρ αρχετύπου εκμαγείον ακριβές ανεδείχθης, και ιερωσύνης διπλοΐδα κεκόσμησαι· πάση σπουδή το τάλαντον αυξήσας, της ευκταίας φωνής του Κυρίου ακήκοας, καλούσης προς ανάπαυσιν· ένδοθεν δε των αυλών αυτού γενόμενος, μή διαλίπης ημών μνημονεύων, των εκ πόθου εκτελούντων, των ιερών σου λειψάνων την πανήγυριν.

## Ήχος ο αυτός.

Λάμπει σου η σορός των θαυμάτων ταις ακτίσι, και λαούς φωτίζει της Τριάδος την ευσέβειαν. Ως ούν έτι ων εν τω σκήνει, ούτω και μετά πότμον, τοις αιτουμένοις σε παρέχεις την ταχείαν σου αντίληψιν· αιχμαλώτους λυτρούσαι, κινδυνεύοντας σώζεις, και παρανομούσι καθ’ ύπαρ οπτάνεσαι. Διό φάνηθι και ημίν αρωγός, Ιεράρχα συμπαθέστατε, και λύτρωσαι ημάς των συνεχόντων κινδύνων, ταις ικεσίαις σου.

## Ήχος δ΄.

Μύρω χρισθείς νοητώ, Μύρων αισθητών ποιμενάρχης εχρημάτισας, και μύροις σου των αρετών ευωδιάζεις την οικουμένην, θεοπρόβλητε Νικόλαε· της γαρ αγίας σου σορού εκ γης προελθούσης, ποταμούς θαυμάτων τοις πιστοίς ανέβλυσας. Νίκη ούν λαού φερωνύμως απεκλήθης, και νικώσι διά σου οι πιστοί ενισχυόμενοι, των κινδύνων και πειρασμών τας επαλλήλους επιθέσεις. Διό πρέσβευε Ιεράρχα πανσεβάσμιε, και ημών τας δεήσεις προσδεχθήναι, παρά του φιλανθρώπου Θεού, λυτρωθήναι εκ κινδύνων, και σωθήναι τας ψυχάς ημών.

## Δόξα. Ήχος πλ. α΄.

Σαλπίσωμεν εν σάλπιγγι ασμάτων, χορεύσωμεν αγαλλόμενοι, και πανηγυρίσωμεν επί τη μνήμη, του Ιεράρχου και κηδεμόνος ημών· ούτος γαρ ηυδόκησε, τη συμπαθεί αυτού προνοία, μεταδούναι ημίν χάριτας και ευλογίας, του πανιέρου αυτού σκηνώματος. Ασθενείς και πάντες οι εν ανάγκαις, συνερχόμενοι εν πίστει, λαμβάνουσι την θεραπείαν, ταις των μύρων επαλείψεσι, και πάσα του διαβόλου απελαύνεται δυναστεία. Μεγάλη σου όντως Άγιε η ευσπλαχνία, και μείζων η προς τον Δεσπότην σου παρρησία· δι’ ης και ημάς απάλλαξον των συνεχόντων κινδύνων, ταις ευπροσδέκτοις ικεσίαις σου.

## Και νυν. ο αυτός. Θεοτοκίον.

Μακαριζομέν σε Θεοτόκε Παρθένε, και δοξαζομέν σε οι πιστοί κατά χρέος, την πόλιν την άσειστον, το τείχος το άρρηκτον, την αρραγή προστασίαν, και καταφυγήν των ψυχών ημών.

## Εις τον Στίχον Στιχηρά Προσόμοια.
## Ήχος πλ.α΄. Χαίροις ασκητικών.

Χαίροις η ιερά κορυφή, και τοις Αγγέλοις ποθητή και αιδέσιμος, και πάση τη Εκκλησία, δόξα και πλούτος πολύς, ο πλουτών τους πάντας, τη προνοία σου· αεί γαρ το όνομα, το σεπτόν σου καλούμενον, πάντας προφθάνει, και ποικίλως αμοίβεται, τα αιτήματα των βοώντων σοι Άγιε· Πρόφθασον, Πάτερ πρόφθασον, και ρύσαι ποικίλων τε, και πολυτρόπων σκανδάλων, Χριστού τον κλήρον βαλλόμενον· ισχύεις γαρ σώζειν, ως ποτέ τους καταδίκους, τη παρρησία σου.

Στίχ. *Τίμιος εναντίον Κυρίου ο θάνατος του Οσίου αυτού.*

Χαίροις αδικουμένων σωτήρ, των πενομένων πλουτιστής και αντίληψις, και πάντων των εν ανάγκαις, η κραταιά προσφυγή, συμπαθείας στήλη, Πάτερ Όσιε· πηγή αναβλύζουσα, εκ των Θείων Λειψάνων σου, μύρα πλουσίως, τας ψυχάς καταρδεύουσα, και νοσήματα των πασχόντων ελαύνουσα· όρμος ο γαληνότατος, εις ον διασώζονται, οι εν θαλάσση και χέρσω, περιστατούμενοι πάντοτε· Χριστόν μη ελλίπης, ικετεύειν Ιεράρχα, υπέρ των δούλων σου.

Στίχ. *Οι Ιερείς σου, Κύριε, ενδύσονται δικαιοσύνην και οι όσιοί σου αγαλλιάσονται.*

Χάρις τη Εκκλησία πολλή, και ευλογία τοις πιστοίς δαψιλεύεται, υμνούσι των σών Λειψάνων, την εορτήν την φαιδράν, δι' ης κόσμος άπας αγιάζεται· ιάσεις ποικίλαι γαρ, και δαιμόνων απέλασις, και πλείσται όσαι, των θαυμάτων ενέργειαι, ως πηγής κρουνοί, συνεχώς

αναβλύζουσι. Δός ούν θεόφρον Όσιε, ημίν εκζητούσί σε, αμαρτημάτων την λύσιν, ταις προς Θεόν μεσιτείαις σου· ισχύεις γαρ σώζειν, ως ποτέ τους καταδίκους τη παρρησία σου.

Δόξα. Ήχος πλ.β΄.

Πλούτος πιστοίς, εκ γης λαγόνων, σήμερον ανέβλυσε, του σεπτού Ιεράρχου το πανίερον σκήνωμα. Ως ποταμός γαρ συγκλύων αποτόμως, ταις των μύρων αναβλύσεσι, της Εκκλησίας κατήρδευσε το πλήρωμα· ως φωστήρ δε καταλάμπει διανοίας, σκότους παθών εξαιρούμενος, και τοις εν ανάγκαις τρυχομένοις, ταχύς επίκουρος ευρίσκεται. Διό και υπέρ ημών, των προθύμω καρδία συνελθόντων, εορτάσαι την μνήμην αυτού, λύσιν οφλημάτων αιτείται, και σωτηρίαν των ψυχών ημών.

Και νυν. Θεοτοκίον.

Θεοτόκε, σύ εί η άμπελος η αληθινή, η βλαστήσασα τον καρπόν της ζωής· σε ικετεύομεν· Πρέσβευε Δέσποινα, μετά των Αποστόλων, και πάντων των Αγίων, ελεηθήναι τας ψυχάς ημών.

Νύν απολύεις, το τρισάγιον, και το Απολυτίκιον.

Απολυτίκιον.
Ήχος δ΄. Ταχύ προκατάλαβε.

Των θείων λειψάνων σου, η Εκκλησία τιμά, την μνήμην Νικόλαε, και την εκ τούτων αντλεί, αντίληψιν πάντοτε· έχεις γαρ παρρησίαν, ως θεράπων Κυρίου, σώζειν εκ πάσης βλάβης, ως ποτέ καταδίκους. Διό και τους τιμώντάς σε νυν, σώζε πρεσβείαις σου.

Έτερον.
Ήχος α΄. Της ερήμου πολίτης.

Των σεπτών σου λειψάνων την ετήσιον σήμερον, μετά πόθου τιμώμεν εορτήν Πάτερ όσιε, και πίστει αιτούμεθα θερμή, ποικίλων δεινών απαλλαγήν, ταις προς Κύριον ευχαίς σου, ως παρρησίαν έχων Άγιε Νικόλαε. Δόξα τω σε δοξάσαντι Χριστώ· δόξα τω σε χαριτώσαντι· δόξα τω δωρησαμένω σε ημίν φρουρόν ακοίμητον.

## **Εις τον Όρθρον**

Μετά την α΄ Στιχολογίαν, Κάθισμα.
Ήχος πλ. δ΄. Την σοφίαν και Λόγον.

Την σοφίαν πλουτίσας εκ νεαράς, ηλικίας μετήλθες ακολουθών, τοις νόμοις της χάριτος, και Χριστώ πεπολίτευσαι, ηδονάς του βίου και πλούτου την έπαρσιν, την εχθρού απάτην και κόσμου το ματαιον, έλιπες προκρίνων, την του Κτίστου αγάπην. Διό σε ηξίωσεν, οικονόμον της Χάριτος, και ποιμένα θεόλεκτον. Πρέσβευε Αυτώ ως Θεώ, των πταισμάτων άφεσιν δωρήσασθαι, τοις τιμώσιν εκ πόθου, τα θειά σου Λείψανα.

Δόξα και νυν. Θεοτοκίον. Όμοιον.

Καταπλήττομαι φόβω και δειλιώ, των κακών μου το πλήθος κατανοών, και τρόμω συνέχομαι, του βοάν τω Δεσπότη μου. Αλλ’ όμως λύσιν εύρον, προς σε ως μεσίτριαν, εν συντριβή καρδίας προσπίπτειν και δέεσθαι· οίδα γαρ Κυρία, ότι σώζεις τους πάντας· Παντάνασσα πέφυκας, και ισχύς σου και θέλησις, ισοτίμως ευρίσκονται. Σώσόν με

ούν σώσον Αγνή, και τοις χάριτος νόμοις με σύνταξον, όπως χαίρων υμνώ σε, την άχραντον Δέσποιναν.

Μετά την β΄ Στιχολογίαν, Κάθισμα.
Ήχος α΄. Τον τάφον σου Σωτήρ.

Τώ θρόνω του Θεού, παρεστώς Ιεράρχα, μνημόνευε ημών, των τιμώντων εκ πόθου, των θείων Λειψάνων σου, εορτήν την σεβάσμιον, σής δε χάριτος, ημίν μετάδος πλουσίως, όπως εύρωμεν, απορουμένων την λύσιν, και νόσων την ίασιν.

Δόξα και νυν. Θεοτοκίον. Όμοιον.

Ως θρόνος Χερουβίμ, σαίς αγκάλαις βαστάζεις, των πάντων ποιητήν, Θεοτόκε Μαρία, ως σκέπη δε τον κόσμον σου, διασώζεις εκ θλίψεων· και γαρ δύνασαι, ως του θεού ημών μήτηρ, ως Παντάνασσα, ως Σεραφίμ υπερτέρα, και πάντων Αγγέλων τε.

Μετά τον Πολυέλεον. Κάθισμα.
Ήχος γ΄. Η Παρθένος σήμερον.

Αρεταίς εκόσμησας, την ιεράν διπλοΐδα, και θαυμάτων έπλησας, την του Χριστού Εκκλησίαν, όργανον του Παρακλήτου γεγενημένος, έσωσας τη προσευχή σου κεκακωμένους. Διά τούτο σε τιμώμεν, ως θείον ρύστην, ημών τε και φύλακα.

Δόξα και νυν. Θεοτοκίον. Όμοιον.

Την φωνήν σοι άδομεν, του Γαβριήλ γεγηθότες, της κατάρας λύτρωσιν, ως διά σου ευρηκότες, άπασαι φυλαί της γης σε ανευφημούμεν, Τόκου σου του θείου σύμβολα

προσκυνούμεν, και βοώμεν σοι συμφώνως· χαίρε Παρθένε, χριστιανών το καύχημα.

Οι Αναβαθμοί· το Α΄ Αντίφωνον του δ΄ Ήχου.
Προκείμενον.

Τίμιος εναντίον Κυρίου ο θάνατος του Οσίου Αυτού.

Στίχ. *Τί ανταποδώσωμεν τω Κυρίω περί πάντων ων ανταπέδωκεν ημίν.*
Ευαγγέλιον, (Κατά Ματθαίον, βλ. τη ς΄ Δεκεμβρίου)
Ο Ν΄. Ψαλμός.

*Δόξα. Ταίς του Ιεράρχου.*

*Και νυν. Ταίς της Θεοτόκου.*

Ιδιόμελον. Ήχος πλ.β΄.

Στίχ. *Ελεήμον, ελέησόν με ο Θεός, κατά το μέγα έλεός σου και κατά το πλήθος των οικτιρμών σου εξάλειψον το ανόμημά μου.*

Όσιε Πάτερ, χοροί Προφητών και Διδασκάλων, το πνεύμά σου εδέξαντο, και πλούτον ημίν τοις σοίς τέκνοις κατέλιπες, το άφθαρτόν σου σκήνωμα. Μύρων δε κρουνούς και ποταμούς θαυμάτων αναβλύζων, πάντα ημών τα πάθη ιάσαι και σώζεις εκ κινδύνων, ταις ικεσίαις σου Άγιε.

ΟΙ ΚΑΝΟΝΕΣ
Της Θεοτόκου και του Αγίου έχων ακροστιχίδα «Νικολάου άσμασιν στεφάνους πλέκω· Ιωσήφ.» (Βατοπαιδινού).

## Ήχος δ΄.
## Ωδή α΄. Ανοίξω το στόμα μου.

Νοός μου το άγονον, τη πατρική προμηθεία σου, και γλώσσης το άτονον, λύσον Νικόλαε, όπως άσμασι, τιμήσω σου την μνήμην, εκ γης ανατείλαντος του θείου σκήνους σου.

Ισχύει ουδέποτε, των αιτουμένων σε πρόμαχον, σκανδάλων ο αίτιος, εχθρός εφάψασθαι· λύεις γαρ τάχιστα, αυτού τας πανουργίας, και σώζεις πρεσβείαις σου, τους σοί προστρέχοντας.

Καλούντά με πρόφθασον, και κινδυνεύοντα ρύσαί με, δεινών περιστάσεων, εν αίς συνέχομαι· και γαρ Άγιε, επλήθυναν κακίαι, αιρέσεις και σκάνδαλα των πολεμούντων με.

*Θεοτοκίον.*

Ο Λόγος εν μήτρα σου, κατασκηνώσας Απείρανδρε, ημάς απειργάσατο, Αυτού σκηνώματα, όντας πρότερον, εχθρού και αμαρτίας, αισχρά καταγώγια και σκεύη άτιμα.

Αι Καταβασίαι, της τυχούσης εορτής.

## Ωδή γ΄. Τους σούς υμνολόγους.

Λιμώ σου την πόλιν τρυχομένην, απήλλαξας Πάτερ προφανώς, και ατακτούντας έπεισας, μή αδικείν την ποίμνην σου, και κρινομένους ήρπασας, της καταδίκης πανθαύμαστε.

Ανάγκη λιμού πιεζομένην, την ποίμνην σου Πάτερ προφανώς, ερρύσω της στενώσεως, και νεανίσκους ήρπασας, της του θανάτου κρίσεως, τη προς Θεόν παρρησία σου.

Οσμαίς σου των μύρων απελαύνεις, παθών και δαιμόνων τας ορμάς, των εκ του θείου σκήνους σου, αναβλυζόντων Άγιε, τοις μετά πόθου σπεύδουσι, σή θεία λάρνακι πάντοτε.

Θεοτοκίον.

Ανύστακτον Κόρη της ψυχής μου, το όμμα συντήρησον Θεού, τον φόβον εμβιβάζουσα, και πράξεις τας φερούσας με, προς την Αυτού αγάπησιν, σή παρρησία παράσχου μοι.

Κάθισμα. *Ήχος δ΄*. Ταχύ προκατάλαβε.

Εν γή σου το σκήνωμα, καταλιπών τοις πιστοίς, ως θείον θησαύρισμα, θαυμάτων βρύεις κρουνούς, Νικόλαε ένδοξε· γήθεν δε των πραέων, ένθα νυν συναγάλλει, μέμνησο των τελούντων, την φωσφόρον σου μνήμην, και ρύσαι εχθρών δυσμενών, ταις ικεσίαις σου.

Θεοτοκίον. Όμοιον.

Ταχείαν την σκέπην σου, επί σών δούλων Αγνή, εφάπλωσον Δέσποινα, και χαλεπών πειρασμών, το νέφος διάλυσον· πλάναι γαρ και αιρέσεις, πανταχόθεν κυκλούσι, πίστις δε εμειώθη, ελπίς και αγάπη. Διό ταις σαίς πρεσβείαις ταχύ, πρόφθασον ρύσαι ημάς.

## Ωδή δ΄. Ο καθήμενος εν δόξη.

Σκήνωμα το σόν τρισμάκαρ, ως του τάφου ανέτειλεν, έβλυσεν αφθόνως, πάσιν ιαμάτων χαρίσματα, άμα δε πλήρωμα άπαν Χριστεπώνυμον, κατεφαίδρυνε, Λείψανα σά το σεβόμενον.

Μύρων ώφθης ποιμενάρχης, Ιεράρχα Νικόλαε, πάντας δεομένους, άρδην σαίς πρεσβείαις λυτρούμενος, του δε Αρείου την πλάνην, απεκάλυψας, και τον ένθεον, δήμον Πατέρων εφαίδρυνας.

Απορεί τις Πάτερ πώς σου, επαινέσει επάξιον, τον ένθεον ζήλον, και τα θαυμαστά κατορθώματα, δι’ ων Δεσπότη, επώφθης όντως τίμιος, και πεπλήρωσαι, δωρεαίς αφθάρτοις του Πνεύματος.

*Θεοτοκίον.*

Στένω τρέμων την ημέραν, της φρικτής αποφάσεως, έργα έχων οίμοι, όντως κατακρίσεως άξια. Και τί ποιήσω ο τάλας, εν τω κρίνεσθαι, ω Παντάνασσα, Κόρη Θεοτόκε· βοήθει μοι.

## Ωδή ε΄.Εξέστη τα σύμπαντα.

Ιάσεων νάματα, ομβρίζεις ιερώτατε, πάσι τοις νοσούσι ταις ευχαίς σου, τοις μετά πόθου σε καλουμένοις πολλού, έχων παρρησίαν προς Θεόν, Άγιε Νικόλαε, ποιμενάρχα θεόλεκτε.

Ναμάτων του Πνεύματος, το στόμα σου ενέπλησας, ώφθης τε του Λόγου υποφήτης, ιερομύστης και θυηπόλος

Χριστού· και πάσι τα μακράν προδιαγνούς, σώζεις ταις πρεσβείαις, και λυτρούσαι κακώσεων.

Σωθείσαι του πτώματος, νεάνιδες προνοία σου, έδειξάν σε στήλην συμπαθείας, μέτριον πάνυ, εν ταπεινώσει πολλή, φεύγοντα της δόξης το σαθρόν· όθεν προκεχείρισαι, Οικουμένης ποιμήν θεοπρόβλητος.

*Θεοτοκίον.*

Τιμώ σου την Σύλληψιν, την Γέννησιν Θεόνυμφε, Είσοδον την θείαν σου ωσαύτως, Ευαγγελίων δε τα χαρμόσυνα, δι' ων μήτηρ γέγονας Θεού, λύτρωσιν βραβεύουσα, πάση κτίσει Πανάχραντε.

Ωδή στ´. Την θείαν ταύτην.

Εικόνος σου το εκτύπωμα, τιμώμεν και Λειψάνων την εύρεσιν, θείε Νικόλαε, πιστώς οι πάντες γηθόμενοι, δι' ων χαρίτων βρύεις πλούσια νάματα.

Φανείς καθ' ύπαρ απήτησας, Λειψάνων σου των θείων μετάστασιν, σοφοίς σου κρίμασι, των ευσεβών προνοούμενος, Νικόλαε προστάτα ημών και πρόμαχε.

Αφείς την γήν η το πρότερον, το σώμά σου το θείον ενέκρυπτε, πάντας ενέπλησας, της ευωδίας των μύρων σου, εκ των σεπτών Λειψάνων σου, Πάτερ Άγιε.

*Θεοτοκίον.*

Νοείν Παρθένε ου σθένουσι, του Τόκου σου του θείου την γέννησιν, Αγγέλων τάγματα· διό σιγή καταπλήττονται, πώς μετά τόκον μένεις, Παρθένος άφθορος.

Κοντάκιον. *Ήχος δ΄.* Επεφάνης σήμερον.

Των σεπτών Λειψάνων σου, η θεία μνήμη, των πιστών το πλήρωμα, καθαγιάζει μυστικώς, και των κινδύνων πρεσβείαις σου, λυτρούται πάντας, Νικόλαε ένδοξε.

Ο Οίκος.

Εκ της γης ως αστήρ φαεινός ανατείλας, και ακτίσι των σών χαρίτων πιστούς φαιδρύνας, μύρων κρουνούς πλουσίως ανέβλυσας· τους κεκακωμένους ποικίλως ιάσαι, και κακοπιστίαν σαφώς ελέγχεις. Πανταχού δε αεί προφθάνεις, και των κινδύνων πρεσβείαις σου, λυτρούσαι πάντας, Νικόλαε ένδοξε.

Το Συναξάριον της Κ΄ του Μαΐου· είτα δε το παρόν.

Τη αυτή ημέρα την Ανακομιδήν και Μετακομιδήν εορτάζομεν του θειοτάτου και μυριπνόου Λειψάνου του εν Αγίοις Πατρός ημών Νικολάου Επισκόπου Μύρων της Λυκίας, του Θαυματουργού.

Γή σου πρότερον, νυν δε χορείαι
τών πιστών κατέχουσι το θείον σκήνος.

Ταίς αυτού αγίαις πρεσβείαις, Χριστέ ο Θεός, ελέησον και σώσον ημάς. Αμήν.

Ωδή ζ΄. Ουκ ελάτρευσαν.

Όλος γέγονας, τοις μύροις των Λειψάνων σου, των Μύρων πρόεδρε, των ιαμάτων πηγή, τοις πίστει προστρέχουσι, θείε Νικόλαε, και απολαύουσι, την των σωμάτων ίασιν, και ψυχών την σωτηρίαν.

Υπέρ άπαντας, θαυμάτων ταις λαμπρότησι, κόσμον εφώτισας, Ιεραρχών καλλονή, θαλάσση τε πλέουσι, λύεις τον κλύδωνα· διό κράζουσι· ευλογητός εί Κύριε, ο Θεός εις τους αιώνας.

Σώσον Άγιε, τους πόθω προσκυνούντάς σου, τα θεία Λείψανα, και την λαμπράν εορτήν, εν πίστει τελούντάς σου, και περιφύλαττε, όπως ψάλλωσι· ευλογητός εί Κύριε, ο Θεός εις τους αιώνας.

*Θεοτοκίον.*

Πόλιν έμψυχον, ναόν και θείαν τράπεζαν, θείον παλάτιον, εν ω Χριστός κατοικεί, του Πνεύματος όλην σε, σκήνωμα έγνωμεν. Διό κράζωμεν· ευλογημένος Πάναγνε, ο καρπός της σής κοιλίας.

Ωδή η΄. Λυτρωτά του παντός.

Λαμπρυνθείς ταις ακτίσι του Πνεύματος, του Αρείου το θράσος διήλεγξας, μεγάλη παρρησία σου, των Πατέρων τον δήμον, μεγαλύνας, ευσεβείας προστάτα και πρόμαχε.

Ελεείς τη πολλή συμπαθεία σου, κορασίδας κινδύνου ρυσάμενος, την του λιμού κατήφειαν, του λαού σου ωσαύτως, πάντας σώζεις, τη ταχεία σου σκέπη Νικόλαε.

Κηδεμών μοι γενού τη προνοία σου, κυβερνών την ζωήν μου τοις κύμασι, τοις εν θαλάσση πλέουσι, ο ταχύς αντιλήπτωρ, σωτηρίας, διανοίγων οδούς ταις πρεσβείαις σου.

*Θεοτοκίον.*

Ω πώς ώφθην ως δένδρον το άκαρπον! μετανοίας καρπών απορούμενος. Συγκαταβάσα σώσόν με, τη πρεσβεία σου Κόρη, όπως ψάλλω, μεγαλεία τα σά Θεονύμφευτε.

## Ωδή θ΄. Άπας γηγενής.

Ίδε την εμήν, ιλέω σου όμματι, εσχάτην κάκωσιν· σπεύσον Πάτερ σώσόν με, αρρήτω τρόπω της προμηθείας σου, και των παθών τον σύνδεσμον εξοστρακίσας μου, του νοός μου, λύσον την σκοτόμαιναν, όπως ύμνοις γεραίρω σε Άγιε.

Ώφθης οδηγών, εν σκότει τους πλέοντας, θείε Νικόλαε, λύων το κλυδώνιον, και απορούντας παραμυθούμενος. Αλλά και νυν τους τέμνοντας, του βίου θάλασσαν, διασώζεις, σκότους απογνώσεως, και παντοίων λυτρούσαι κακώσεων.

Στήλη αρετών, εδείχθης εν βίω σου, πάτερ Νικόλαε, και κατεπολέμησας, πλεονεξίαν και βιαιότητα, και τους πιστούς εστήριξας, τοις θαυμασίοις σου, εξαρπάζων, πάντας τους προστρέχοντας, εκ κινδύνων αγρύπνω προνοία σου.

Ήλιος φαιδρός, εκ γης ανατέταλκας, θείοις λειψάνοις σου, λάμπων θείαις χάρισι, και ιαμάτων κρουνούς ανέβλυσας, λύσιν παθών ποικίλων τε, και των δαιμόνων ορμάς, διαλύων, όπου σου το όνομα, Ιεράρχα πιστώς επικέκληται.

## Θεοτοκίον.

Φως το εκ φωτός, τω κόσμω ανέτειλε, θεία Γεννήσει σου· ω καταυγασθείημεν, οι σκότει πρότερον καταντήσαντες. Όθεν ημάς αφήρπασας, και κατελάμπρυνας, Φωτοτόκε, θείαις σου λαμπρότησι, του Ηλίου της δόξης γεννήτρια.

## Εξαποστειλάριον.
## *Ήχος β΄.* Γυναίκες ακουτίσθητε.

Των αιχμαλώτων ρύστην σε, και ασθενών ακέστορα, θαλαττευόντων σωτήρα, και κηδεμόνα πενήτων, εν πίστει σε γινώσκομεν, θαυματουργέ Νικόλαε. Διό του θείου σου σκήνους, χαρμονικώς συνελθόντες, την μνήμην επιτελούμεν.

## Θεοτοκίον.

Προσπίπτων κατασπάζομαι, την άχραντον Εικόνα σου, και μετά πόθου βοώ σοι, επάκουσόν μου και ρύσαι· Παντάνασσα γαρ πέφυκας, και όσα βούλει δύνασαι, διό παθών τυραννίδος, εξάρπασον και παράσχου, των εσφαλμένων την λύσιν.

## Εις τους Αίνους
## Ιστώμεν στίχους δ΄ και ψάλλομεν
## τά παρόντα στιχηρά Προσόμοια δευτερούντες το α΄.

## *Ήχος α΄.* Των ουρανίων ταγμάτων.

Ιεραρχών την κριπίδα, θείον Νικόλαον, μετά σπουδής ελθόντες, ευφημήσωμεν τούτου, την εύρεσιν των θείων Λειψάνων πιστοί, και εκ πόθου βοήσωμεν· της συνεχούσης ανάγκης ρύσαι ημάς, Πάτερ θείε ταις πρεσβείαις σου.

Του θεοφόρου σου σκήνους, εκ γης εκλάμψαντος, του σκότους εμειώθη, η αχλύς Ιεράρχα, και έβλυσας θαυμάτων κρουνούς δαψιλώς, τοις εν πίστει προστρέχουσι, πάσης ανάγκης ρυόμενος και φρουρών, εκ κινδύνων τε και θλίψεων.

Απλούς τον τρ[οπον και πράος, πτωχός τω πνεύματι, δίκαιος ελεήμων, κατ' εικόνα εγένου, Χριστού του Ποιμενάρχου· διό την αυτού, Εκκλησίαν εποίμανας, και των τιμώντων σε πρέσβυς και κηδεμών, ανεδείχθης αξιάγαστε.

Δόξα. Ήχος πλ. δ΄.

Πυρίνη γλώσση του Παρακλήτου, καταυγασθείς την διάνοιαν, και Αποστόλων χάριν πλουτήσας, επέστρεψας πεπλανημένους ταις διδαχαίς σου, Ιερομύστα Νικόλαε· διό των κατορθωμάτων σου ο φθόγγος, την οικουμένην περιήχησε. Ζήλω δε θείω πυρωθείς, τον αποστάστην Αρειον κατέβαλες, και Πατέρων ηύφρανας τον δήμον τη παρουσία σου. Αλλά και νυν, Ορθδοξίας πρόμαχε Ιεράρχα, κινδυνεύουσαν φύλαξον την Εκκλησίαν, ταις ακοιμήτοις ικεσίαις σου.

Και νυν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τας δεήσεις των δούλων σου, και λύτρωσαι ημάς, από πάσης ανάγκης και θλίψεως.

Δοξολογία μεγάλη και Απόλυσις.

## Εις την Λειτουργίαν

Τα τυπικά, οι Μακαρισμοί, και εκ του κανόνος
του Οσίου η γ' και ς' ώδή.

Ωδή γ΄. Τους σούς υμνολόγους.

Λιμώ σου την πόλιν τρυχομένην, απήλλαξας Πάτερ προφανώς, και ατακτούντας έπεισας, μή αδικείν την

ποίμνην σου, και κρινομένους ήρπασας, της καταδίκης πανθαύμαστε.

Ανάγκη λιμού πιεζομένην, την ποίμνην σου Πάτερ προφανώς, ερρύσω της στενώσεως, και νεανίσκους ήρπασας, της του θανάτου κρίσεως, τη προς Θεόν παρρησία σου.

Οσμαίς σου των μύρων απελαύνεις, παθών και δαιμόνων τας ορμάς, των εκ του θείου σκήνους σου, αναβλυζόντων Άγιε, τοις μετά πόθου σπεύδουσι, σή θεία λάρνακι πάντοτε.

Θεοτοκίον.

Ανύστακτον Κόρη της ψυχής μου, το όμμα συντήρησον Θεού, τον φόβον εμβιβάζουσα, και πράξεις τας φερούσας με, προς την Αυτού αγάπησιν, σή παρρησία παράσχου μοι.

Ωδή στ΄. Την θείαν ταύτην.

Εικόνος σου το εκτύπωμα, τιμώμεν και Λειψάνων την εύρεσιν, θείε Νικόλαε, πιστώς οι πάντες γηθόμενοι, δι’ ων χαρίτων βρύεις πλούσια νάματα.

Φανείς καθ’ ύπαρ απήτησας, Λειψάνων σου των θείων μετάστασιν, σοφοίς σου κρίμασι, των ευσεβών προνοούμενος, Νικόλαε προστάτα ημών και πρόμαχε.

Αφείς την γήν η το πρότερον, το σώμά σου το θείον ενέκρυπτε, πάντας ενέπλησας, της ευωδίας των μύρων σου, εκ των σεπτών Λειψάνων σου, Πάτερ Άγιε.

*Θεοτοκίον.*

Νοείν Παρθένε ου σθένουσι, του Τόκου σου του θείου την γέννησιν, Αγγέλων τάγματα· διό σιγή καταπλήττονται, πώς μετά τόκον μένεις, Παρθένος άφθορος.

## Απόστολος και Ευαγγέλιον της ς᾽ Δεκεμβρίου.

## Δίστιχον.

Ιωσήφ τον γράψαντα, τον ύμνον σοι εκ πόθου
Ιεράρχα λύτρωσαι σκανδάλων ταις ευχαίς σου.

